GREK 2051 (Spring 2006)

**BIBLICAL READINGS**
supplement to Shelmerdine
**Chapter 15**

In response to reports that in Corinth some deny the resurrection of Christ, Paul stresses the importance of belief in the resurrection.

12. εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσιν ἐν ὑμῖν τινες
ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; 13. εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς
ἐγήγερται· 14. εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα [καὶ] τὸ κήρυγμα ἡμῶν, κενὴ
καὶ ἡ πίστις ὑμῶν, 15. εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ, ὅτι
ἐμαρτυρήσαμεν κατὰ τοῦ θεοῦ ὅτι ἤγειρεν τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν εἴπερ ἄρα
νεκροὶ οὐκ ἐγείρονται. 16. εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται·
17. εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν, ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις
ὑμῶν. 18. ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο. 19. εἰ ἐν τῇ ζωῇ ταύτῃ ἐν
Χριστῷ ἠλπικότες ἐσμὲν μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. 20. νυνὶ δὲ
Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων. 21. ἐπειδὴ γὰρ δι᾽
ἀνθρώπου θάνατος, καὶ δι᾽ ἀνθρώπου ἀνάστασις νεκρῶν· 22. ὥσπερ γὰρ ἐν τῷ
Ἀδὰμ πάντες ἀποθνῄσκουσιν, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζῳοποιηθήσονται.

(Πρὸς Κορινθίους α´ 15.12-22)

ἁμαρτία –ας ἡ "sin"
ἀνάστασις –εως ἡ "resurrection"
ἀπαρχή -ῆς ἡ "first-offering"
ἀπώλοντο (3rd pl aor.) "died"
ἄρα ~ οὖν
ἐγείρω, ἐγερῶ, ἤγειρα, --, ἐγήρηγμαι, ἠγέρθην
"raise, resurrect"
εἴπερ = εἰ
ἐλεεινός –ή -όν "pitiful"
ἐπειδὴ "since"
ζωή -ῆς ἡ "life"
ζῳοποιέω, -ποιήσω, -εποίησα, -πεποίηκα,
-πεποίημαι, -εποιήθην "make alive"
ἠλπικότες (nom. pl.) "[those] who had hope"
ἡμῶν (gen. pl.) "of us"
κενός -ή -όν "empty"
κήρυγμα –ατος τό "proclamation, message"
κηρύσσω "proclaim, preach"
κεκοιμημένων (perf.), κοιμηθέντες (aor.)
"those who have fallen asleep"
μαρτυρέω "testify"
μάταιος –α –ον "worthless"
μόνον "only"
νεκρός –ά –όν "dead"
νυνὶ "now"
ὅτι "that, because"
οὕτως "this way"
πάντες (nom. pl.) πάντων (gen. pl.) "all"
πῶς "how"
πίστις –εως ἡ "faith"
ταύτῃ (fem. dat. sg.) "this"
τινες (nom. pl.) "some"
ὑμῶν (gen. pl.) ὑμῖν (dat. pl.) "y'all"
ψευδόμαρτυς -υρος ὁ "false witness"
ὥσπερ "just as"